ἐξουσιαστὴς ὢν, οὐκ ἔδωκας τῇ φύσει ἄνεσιν, ἀλλ' ἐμπε-
ριπατῶν οὐρεῖς, ἡ τύχη ἐμὲ τὸν δοῦλον ἐπὶ διακονίᾳ ταχῦ-
ναι ςαλέντα, ἀνάγκη πετόμενον χέζειν. ὁ δὲ Ξάνθος, ἕνε-
κεν ἐταράχθης. ἄκουσον. τρία βούλομαι ἐκφυγεῖν κακὰ,
περιπατῶν οὔρησα. ὁ δὲ ποῖα ταῦτα. καὶ ὁ Ξάνθος,
ἑστῶτος μου τὴν κεφαλὴν ὁ ἥλιος κατέφλεξεν ἄν, τοὺς
δὲ πόδας μου ἐν τῷ οὔρῳ ἑστῶτας ἡ γῆ κατέκαυσεν,
ἡ δὲ τοῦ οὔρου δριμύτης τὴν ὄσφρησίν μου ἔβλαψεν ἄν.
ταῦτα οὖν ἐγὼ τὰ τρία φεύγων φαῦλα, περιπατῶν
οὔρησα. Αἴσωπος ἔφη, περιπάτει, πέπεικάς με. Ξάν-
θος λέγει, Αἴσωπε, ἐπεὶ καθάρειόν μου ἐστὶ τὸ γύναιον,
μὴ θέλων ὑπὸ αἰσχροῦ σωματίου δουλεύεσθαι, μεῖνον πρὸ
τοῦ πυλῶνος, ἕως οὗ εἰσελθὼν πρὸς τὴν κυρίαν σου,
ἐγκώμιόν τι γελοίου ἀπαγγείλω, ἵνα μὴ σου ἐξαίφνης
τὴν σαπρίαν ἰδοῦσα, ἀπαιτήσασα τὴν προῖκα φύγῃ.

http://digital.slub-dresden.de/ppn346259193/28